# TEZAUR LITURGIC

## 23 NOIEMBRIE
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# SLUJBA SF.IERARH AMFILOHIE, EPISCOPUL ICONIUMULUI

MINEIUL SF.CRETEI-01
HERAKLION,2000


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ ΚΓ΄ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ

# Μνήμη του εν αγίοις Πατρός ημών Αμφιλοχίου, Επισκόπου Ικονίου

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ιστώμεν στιχ. δ’ , και ψάλλομεν τα κάτωθι Στιχηρά Προσόμοια. Ήχος α’ . Των ουρανίων ταγμάτων.

Αμφιλοχίου την μνήμην πανηγυρίσωμεν, του φαεινού λαμπτήρος, της Χριστού Εκκλησίας, βοώντες· Χαίρε Πάτερ ο της ζωής, τας αβύσσους ευράμενος, και προϊστάμενος πάντων των ευσεβώς, ευφημούντων τους αγώνάς σου.

Ανατεθείς τω Κυρίω από νεότητος, των αρετών δοχείον, ευαγές ανεδείχθης, και θεία μυροθήκη του παντουργού, Αμφιλόχιε Πνεύματος, ου και υπέρμαχος ώφθης των ασεβών, διελέγξας την παράνοιαν.

Πράξιν ελλόγιμον έχων, και λόγον έμπρακτον, των λογικών προβάτων, ο Χριστός σε ποιμένα, προβάλλεται θεόφρον συ δε καλός, Αμφιλόχιε Όσιε, ποιμήν εδείχθης μιμήσει θεοπρεπεί, του μεγάλου Αρχιποίμενος.

Ο της δευτέρας Συνόδου, μέγας υπέρμαχος, ο του Μακεδονίου, διελέγξας την πλάνην, τιμάσθω νυν εν ύμνοις χαρμονικώς, ο σοφός Αμφιλόχιος, ως από πάσης ρυόμενος συμφοράς, τους αυτώ πιστώς προστρέχοντας.

Δόξα. Ήχος δ' .

Ασκητικαίς αγωγαίς, του Παρακλήτου το φως, εν τη ψυχή σου εισδεξάμενος, επί θρόνου υψηλού, της αρχιερωσύνης εκάθισας πάτερ Αμφιλόχιε Όσιε· και τον της σοφίας λόγον, μείζονα δι' αρετής κτησάμενος, τας θεομάχους αιρέσεις κατέβαλες, και τη οικουμένη εβρόντησας, Ορθοδοξίας τα πάνσεπτα δόγματα. Όθεν σήμερον οι πιστοί, τελούντες την μνήμην σου, τους ιερούς σου αγώνας γεραίρομεν, και εκ καρδίας βοώμέν σοι· Πρέσβευε εκτενώς τω εν Τριάδι Θεώ, σωθήναι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον. Γεωργίου Νικομήδειας.

Σήμερον ο θεοχώρητος Ναός, η Θεοτόκος, εν ναώ Κυρίου προσάγεται, και Ζαχαρίας ταύτην υποδέχεται. Σήμερον τα των Αγίων Άγια αγάλλονται, και ο χορός των Αγγέλων, μυστικώς πανηγυρίζει· μεθ' ων και ημείς εορτάζοντες σήμερον, συν τω Γαβριήλ εκβοήσωμεν: Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σου, ο έχων το μέγα έλεος.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β΄. Οίκος του Εφραθά.

Χόρευε ιερώς, Χριστού η Εκκλησία, του της Ορθοδοξίας, προμάχου εκτελούσα, την μνήμην την υπέρτιμον.

Στιχ.: Το στόμα μου λαλήσει σοφίαν...

Έθραυσας μιαράν, αιρετικών απάτην, εν Πνεύματι Αγίω, φθεγξάμενος πανσόφως, παμμάκαρ Αμφιλόχιε.

Στιχ.: Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην...

Χαίροις ο φαεινός, φωστήρ της Εκκλησίας, έργοις και λόγοις λάμψας, και πλάνης διαλύσας, το σκότος Αμφιλόχιε.

Δόξα Πατρί. Τριαδικόν.

Ήσχυνας αληθώς, αιρέσεις τας ληρώδεις, την μίαν Θεαρχίαν, τρισίν εν χαρακτήρσι, κηρύξας Αμφιλόχιε.

Και νυν. Θεοτοκίον.

Χαίροις ω Μαριάμ, η του Κυρίου Μήτηρ, και μόνη Θεοτόκος, της Εύας η την λύπην, σω τόκω καταργήσασα.

Νυν απολύεις, το Τρισάγιον.

Απολυτίκιον. Ήχος α’ . Της ερήμου πολίτης.

Ρητορεύσας τα θεία, θεολόγω σου στόματι, των αιρετικών τας επάρσεις, Αμφιλόχιε ήσχυνας· και λάμψας ως

ουράνιος αστήρ, ακτίσι των πολλών σου αρετών, υπέρ λόγον τε και έννοιαν τας ψυχάς, φωτίζεις των εκβοώντων: Δόξα τω σε δοξάσαντι Χριστώ, δόξα τω σε στεφανώσαντι, δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Έτερον. Ήχος δ’ . Ταχὺ προκατάλαβε.

Ελλάμψει τη άνωθεν, ως καθαρός αυγασθείς, τω κόσμω εξέλαμψας, θεολογίας φωτί, σοφέ Αμφιλόχιε· συ γαρ εκπολεμήσας, τας ληρώδεις αιρέσεις, ώφθης του μυστηρίου, της Τριάδος εκφάντωρ. Διο σε ευσεβώς οι πιστοί, αεί μακαρίζομεν.

Το της Εορτής και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τον Προοιμιακόν, στιχολογούμεν το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στιχ. στ’ και ψάλλομεν τα κάτωθι Στιχηρά Προσόμοια. Ήχος δ’.Έδωκας σημείωσιν.

Γνώμην αυτεξούσιον, και λογισμόν αυτοκράτορα, των παθών κληρωσάμενος, τω κρείττονι δέδωκας, νουνεχώς παμμάκαρ, την ηγεμονίαν, κατά του χείρονος ζυγώ, δικαιοτάτω Πάτερ χρησάμενος· εντεύθεν επιτήδειος, προς

θεοπτίαν γεγένησαι, και Θεού κατανόησιν, Ιεράρχα θεόπνευστε.

Βρόχους διεσκέδασας, και τας ενέδρας διέλυσας, των αιρέσεων Όσιε, δογμάτων ορθότητι, και θεολογία, τη ακριβεστάτη, και την διαίρεσιν φυγών, και την κακίστην Πάτερ συναίρεσιν· εν όροις δε διέμεινας, της ευσεβούς ημών πίστεως, και Τριάδα εκήρυξας, εν μονάδι Θεότητος.

Τέχνην σοφισάμενος, τον επί γης βασιλεύοντα, τον εκείνου παρέδραμες, υιόν απροσκύνητον, συνετώς διδάσκων, ως απροσκυνήτου, παρορωμένου του Υιού, αγανακτήσει Πατήρ θερμότατα, ο τούτον προαιώνιον, εκτετοκώς υπέρ έννοιαν, απαθή και ασώματον, ως αυτός οίδεν Όσιε.

Προσόμοια έτερα.

Ήχος πλ. δ’ . Ω του παραδόξου θαύματος.

Πάτερ σοφέ Αμφιλόχιε, εξ ακένωτου πηγής, της σοφίας τα νάματα, ήντλησας αντλήματι, τω αγίω της πίστεως, και τοις διψώσιν αφθόνως έδωκας, πιείν εκ τούτων ως συμπαθέστατος. Όθεν του ύδατος, της ζωής μετέλαβες πάσιν ημίν, χάριν τη πρεσβεία σου, βραβεύων Όσιε.

Πάτερ σοφέ Αμφιλόχιε, ανοίξας νεύσει Θεού, το θεόφθογγον στόμα σου, πίστεως εκήρυξας, το σωτήριον

κήρυγμα, και εκ του ύπνου της ματαιότητος, πολλούς εξήγειρας ους προσήγαγες, δώρον ευπρόσδεκτον, προσφοράν τιμίαν τε τω Λυτρωτή, Χριστώ ω δεόμεθα, πάντοτε πρέσβευε.

Πάτερ σοφέ Αμφιλόχιε, ως καθαρός τη ψυχή, αρετών τελειότητι, Πνεύματος εισδέδεξαι, την αγίαν ενέργειαν, και της Τριάδος στερρός υπέρμαχος, εν θεοφθέγκτοις λόγοις γεγένησαι. Όθεν δεδόξασαι, κατ' αξίαν Όσιε εν ουρανοίς, μνημονεύων πάντοτε, των ευφημούντων σε.

Δόξα Πατρί. Ήχος δ' .

Δεύτε σήμερον οι πιστοί, Αμφιλόχιον τον Χριστού Ιεράρχην, ευλαβώς εγκωμιάσωμεν τον θεόληπτον του Ικονίου ποιμένα, και της Εκκλησίας θεόσοφον διδάσκαλον· τον εν σοφία και αρετή απροσίτω, της ευσεβείας τρανώσαντα το μέγα μυστήριον, και αιρετικών μωρολόγων την έπαρσιν, θείω στόματι ολοσχερώς καταισχύναντα. Κύριε πρεσβείαις αυτού, Ορθοδοξία την Εκκλησίαν σου στήριξον, και σώσον τας ψυχάς ημών, ως αγαθός και φιλάνθρωπος.

Και νυν. Της Εορτής. Ο αυτός.

Δεύτε πάντες οι πιστοί, την μόνην αμώμητον εγκωμιάσωμεν, την εκ των Προφητών προκηρυχθείσαν, και εν Ναώ προσενεχθείσαν, την προ αιώνων προορισθείσαν Μητέρα, και επ' εσχάτων των χρόνων αναδειχθείσαν Θεοτόκον. Κύριε πρεσβείαις αυτής, την ειρήνην σου παράσχου ημίν, και το μέγα έλεος.

Είσοδος, το Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα

Μνήμη δικαίου μέτ' εγκωμίων, και ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ος εύρε σοφίαν, και θνητός ος οίδε φρόνησιν. Κρείσσον γαρ αυτήν εμπορεύεσθαι, η χρυσίου και αργυρίου θησαυρούς. Τιμιωτέρα δε εστι λίθων πολυτελών, παν δε τίμιον ουκ άξιον αυτής εστιν. Εκ γαρ του στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δε και έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ω τέκνα· σεμνά γαρ ερώ, και μακάριος άνθρωπος, ος τας εμάς οδούς φυλάξει. Αι γαρ έξοδοί μου, έξοδοι ζωής, και ετοιμάζεται θέλησις παρά Κυρίου. Δια τούτο παρακαλώ υμάς, και προΐεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα

βουλήν, και γνώσιν και έννοιαν εγώ επεκαλεσάμην. Εμή βουλή και ασφάλεια, εμή φρόνησις, εμή δε ισχύς. Εγώ τους εμέ φιλούντας αγαπώ, οι δε εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δε απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου και πάλιν· σεμνά γαρ ερώ, και ανοίγω από χειλέων ορθα. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δε εναντίον εμού χείλη ψευδώ. Μετά δικαιοσύνης πάντα τα ρήματα του στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Παντα ευθέα εστί τοις νοούσι, και ορθά τοις ευρίσκουσι γνώσιν. Διδάσκω γαρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, και πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομώντος το Ανάγνωσμα

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δε ανδρών επίστανται χάριτας. Στόμα σοφών μελετά σοφίαν, δικαιοσύνη δε ρύεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς· υιός γαρ δίκαιος γεννάται εις ζωήν, και εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φως δικαίοις διαπαντός, και παρά Κυρίου ευρήσουσι χάριν και δόξαν. Γλώσσα σοφών καλά

επίσταται, και εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κυριος οσίας καρδίας, δεκτοί δε αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού· φθάνει γαρ τους επιθυμούντας αυτήν, προ του γνωσθήναι, και ευχερώς θεωρείται υπό των αγαπώντων αυτήν. Ο ορθρίσας προς αυτήν ου κοπιάσει, και ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται. Ότι τους αξίους αυτής αυτή περιέρχεται ζητούσα, και εν ταις τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ου κατισχύσει ποτέ κακία. Δια ταύτα και εραστής εγενόμην του κάλλους αυτής και εφίλησα ταύτην, και εξεζήτησα εκ νεότητός μου, και εζήτησα νύμφην αγαγέσθαι εμαυτώ. Ότι ο πάντων Δεσπότης ηγάπησεν αυτήν. Μύστης γαρ εστι της του Θεού επιστήμης, και αιρέτις των έργων αυτού. Οι πόνοι αυτής εισιν αρεταί, σωφροσύνην δε και φρόνησιν αύτη διδάσκει, δικαιοσύνην και ανδρείαν, ων χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Ει δε και πολυπειρίαν ποθεί τις, οίδε τα αρχαία και τα μέλλοντα εικάζειν, επίσταται στροφάς λόγων, και λύσεις αινιγμάτων, σημεία και τέρατα προγινώσκει, και εκβάσεις καιρών και χρόνων, και πάσι σύμβουλός εστιν αγαθή. Ότι αθανασία εστίν εν αυτή, και εύκλεια εν κοινωνία λόγω αυτής. Δια

τούτο ενέτυχον τω Κυρίω, και εδεήθην αυτού, και είπον εξ όλης μου της καρδίας. Θεὲ Πατέρων, και Κύριε του ελέους, ο ποιήσας τα πάντα εν λόγω σου, και τη σοφία σου κατασκευάσας τον άνθρωπον, ίνα δεσπόζη των υπό σου γενομένων κτισμάτων, και διέπη τον κόσμον εν οσιότητι και δικαιοσύνη, δος μοι την των σων θρόνων πάρεδρον σοφίαν, και μη με αποδοκιμάσης εκ παίδων σου, ότι εγώ δούλος σος, και υιός της παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου και από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τι ευάρεστόν εστι παρά σοι. Και οδηγήση με εν γνώσει, και φυλάξη με εν τη δόξη αυτής. Λογισμοί γαρ θνητών πάντες δειλοί και επισφαλείς αι επίνοιαι αυτών.

Σοφίας Σολομώντος το Ανάγνωσμα

Εγκωμιαζομένου δικαίου, ευφρανθήσονται λαοί· αθανασία γαρ εστιν η μνήμη αυτού, ότι και παρά Θεώ γινώσκεται, και παρά ανθρώποις, και αρεστή Κυρίω η ψυχή αυτού. Επιθυμήσατε τοιγαρούν, ω άνδρες, σοφίαν, και ποθήσατε, και παιδευθήσεσθε· Αρχή γαρ αυτής αγάπη, και τήρησις νόμων. Τιμήσατε σοφίαν, ίνα εις τον αιώνα βασιλεύσητε. Απαγγελώ υμίν, και ου κρύψω αφ' υμών μυστήρια Θεού.

Ότι αυτός και της σοφίας οδηγός εστι, και των σοφών διορθωτής· και εν τη χειρί αυτού πάσα φρόνησις, και εργασιών επιστήμη. Η πάντων τεχνίτις εδίδαξέ με σοφία· έστι γαρ εν αυτή πνεύμα νοερόν, άγιον, απαύγασμα φωτός αϊδίου, και εικών της αγαθότητος του Θεού. Αύτη φίλος Θεού και Προφήτας κατασκευάζει. Ευπρεπεστέρα δε εστιν ηλίου, και υπέρ πάσαν αστέρων θέσιν, φωτί συγκρινομένη, ευρίσκεται προτέρα. Αύτη τους θεραπεύσαντας αυτήν εκ πόνων ερρύσατο, και ωδήγησεν εν τρίβοις ευθείαις. Έδωκεν αυτοίς γνώσιν αγίαν, και διεφύλαξεν αυτούς από ενεδρευόντων, και αγώνα ισχυρόν εβράβευσεν αυτοίς, ίνα γνώσι πάντες, ότι δυνατωτέρα παντός εστιν η ευσέβεια, και ου μη κατισχύση ποτέ κακία σοφίας, ουδ' ου μη παρελεύσεται πονηρούς ελέγχουσα η δίκη. Είπον γαρ εν εαυτοίς, λογισάμενοι ουκ ορθώς. Καταδυναστεύσωμεν τον δίκαιον, μη φεισώμεθα της οσιότητος αυτού, μηδέ εντραπώμεν πολιάς πρεσβύτου πολυχρονίους· έστω δε ημών η ισχύς νόμος. Και ενεδρεύσωμεν τον δίκαιον, ότι δύσχρηστος ημίν εστι, και εναντιούται τοις έργοις ημών και επιφημίζει ημίν αμαρτήματα παιδείας ημών. Επαγγέλλεται γνώσιν έχειν Θεού, και παίδα Κυρίου εαυτόν ονομάζει.

Εγένετο ημίν εις έλεγχον εννοιών ημών. Βαρύς εστιν ημίν και βλεπόμενος· ότι ανόμοιος τοις άλλοις ο βίος αυτού, και εξηλλαγμέναι αι τρίβοι αυτού. Εις κίβδηλον ελογίσθημεν αυτώ, και απέχεται των οδών ημών, ως από ακαθαρσιών, και μακαρίζει έσχατα δικαίων, ίδωμεν ουν ει οι λόγοι αυτού αληθείς, και πειράσωμεν τα εν εκβάσει αυτού. Ύβρει και βασάνω ετάσωμεν αυτόν, ίνα γνώμεν την επιείκειαν αυτού, και δοκιμάσωμεν την ανεξικακίαν αυτού. Θανάτω ασχήμονι καταδικάσωμεν αυτόν· έσται γαρ αυτού επισκοπή εκ λόγων αυτού. Ταύτα ελογίσαντο, και επλανήθησαν· απετύφλωσε γαρ αυτούς η κακία αυτών. Και ουκ έγνωσαν μυστήρια Θεού, ουδέ έκριναν, ότι συ ει Θεός μόνος, ο ζωής έχων και θανάτου εξουσίαν, και σώζων εν καιρώ θλίψεως και ρυόμενος εκ παντός κακού, ο οικτίρμων και ελεήμων, και διδούς τοις Οσίοις σου χάριν, και τω σω βραχίονι τοις υπερηφάνοις αντιτασσόμενος.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ιδιόμελα. Ήχος α’ .

Από νεότητος Θεώ ανατεθείς, δι’ εναρέτου σου βίου, Ιεράρχα Αμφιλόχιε Όσιε, αρετών δοχείον ανεδείχθης, και σοφίας ουρανίου, καταγώγιον τερπνόν εχρημάτισας·εντεύθεν των αρχόντων του αιώνος τούτου, την

σοφίαν τοις λόγοις σου διήλεγξας, και τρισίν εν χαρακτήρσι, την μίαν Θεαρχίαν ανακηρύξας, αιρετικών τας γλώσσας εφίμωσας. Όθεν Ορθοδοξίας ώφθης φωστήρ, και ευσεβείας υποφήτης θαυμαστός, παιδεύων πάντας ημάς, τω εν Τριάδι μέλπειν Θεώ· Άγιος, Άγιος, Άγιος ει Κύριε, ο Θεός ο παντοκράτωρ.

Ήχος ο αυτός.

Μέγας τη ασκήσει γενόμενος, της εν Ικονίω εκκλησίας, προεχειρίσθης τους οίακας, εν ημέραις πονηραίς, πάτερ Αμφιλόχιε Όσιε· εντεύθεν ως ποιμήν φιλοπρόβατος, καλώς προέστης της ποίμνης σου, και εν σοφία θεοπνεύστω, αιρέσεων το θράσος κατήσχυνας. Όθεν της ευκταίας φωνής, καταξιωθείς του Κυρίου σου, αυτώ παρέστης εν τοις υψίστοις ευκλεώς, πρεσβεύουν εκτενώς υπέρ ημών, των ανευφημούντων την θαυμαστήν πολιτείαν σου.

Ήχος β΄.

Της ουρανίου σοφίας, τον πλούτον θησαυρίσας, την μίαν Θεαρχίαν εν τρισί χαρακτήρσι, θεοπρεπώς εθεολόγησας, Αμφιλόχιε Ιεράρχα σεβάσμιε και των αιρετικών τας γλωσσαλγίας διελέγξας, Ορθοδοξίας στύλος αρραγής, εν ημέραις πονηραίς αναδέδειξαι· διο νυν εν ουρανοίς,

μετέχων της αϊδίου ζωής, πρέσβευε Πάτερ εκτενώς, σωθήναι τας ψυχάς ημών.

Ήχος γ' .

Θεοδόσιον τον της Ρωμαίων, βασιλείας τα σκήπτρα κατέχοντα, συνετώς ενουθέτησας, παραιτούμενόν ποτε, τους βλασφήμους της Εκκλησίας απώσασθαι εν τοις ανακτόροις γαρ επιστάς, τον εκείνου παρέδραμες υιόν απροοκύνητον αγανακτούντος δε αυτού, θαρσαλέως έφης, αυτώ ω Αμφιλόχιε· Τέχνην εγώ εσοφισάμην βασιλεύ, συ δε ακούε, και ενωτίζου ταύτα· παρορωμένου απροσκυνήτου του Υιού, αγανακτήσει ο Πατήρ δικαιότατα, ο τούτον προ των αιώνων, εκτετοκώς υπέρ έννοιαν· ενωτίζου ουν βασιλεύ, και της Εκκλησίας δίωξον, τους αρνουμένους ψάλλειν· Δόξα τω Πατρί και τω Υιώ και τω Αγίω Πνεύματι, τω εν Τριάδι Θεώ, εν μονάδι ουσίας.

Δόξα Πατρί. Ήχος πλ. δ' .

Βασιλείω τω της Καισαρείας φωστήρι μαθητεύσας, παρ' αυτού εμυήθης θεολογίας τα μυστήρια, Ιεράρχα πανεύφημε Αμφιλόχιε. Όθεν θεολόγω γλώττη σου, της παντουργού Τριάδος, το μονόσεπτον κράτος διετράνωσας, εν μέσω θεοφόρων Πατέρων πολλών, Ορθοδοξίας τα

δόγματα ανακηρύξας, και διέλυσας αιρετικών τας γλωσσαλγίας, την μίαν Θεαρχίαν εν τρισί χαρακτήρσι, διδάξας προσκυνείν ευσεβώς. Διο κατ' αξίαν εν ουρανοίς εδοξάσθης, και επληρώθης του υπέρ έννοιαν φωτός, πρεσβεύων διηνεκώς, υπέρ των ψυχών ημών.

Και νυν. Της Εορτής. Ο αυτός.

Μετά το τεχθήναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου εν ναώ Κυρίου, του ανατραφήναι εις τα Άγια των Αγίων, ως ηγιασμένη. Τότε και Γαβριήλ απεστάλη προς σε την πανάμωμον, τροφήν κομίζων σοι. Τα ουράνια πάντα εξέστησαν, ορώντα το Πνεύμα το Άγιον, εν σοι σκηνώσαν. Διο άσπιλε αμόλυντε, η εν ουρανώ και επί γης δοξαζομένη, Μήτηρ Θεού, σώζε το γένος ημών.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Ήχος πλ. α' . Χαίροις ασκητικών.

Χαίροις ο Ιεράρχης Χριστού, ηγλαισμένε ιερέ Αμφιλόχιε, Θεώ ο ιερατεύσας, αγγελικώς επί γης, ως σοφίας πλήρης και συνέσεως· το στόμα της χάριτος, η κιθάρα του Πνεύματος, ο της σοφίας, φαεινότατος ήλιος, ο αιρέσεων, διαλύσας την νέφωσιν· μύστης ο ιερώτατος, της άνωθεν γνώσεως, ο μωρολόγων αισχύνας, γραφαίς και λόγοις την

επαρσιν. Χριστόν εκδυσώπει, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Στιχ.: Το στόμια μου λαλήσει σοφίαν...

Χαίροις Ιεραρχών η κρηπίς, της Εκκλησίας του Χριστού στύλος άσειστος, το ρείθρον της ευσεβείας, άπασαν άρδον ψυχήν, θεηγόρε πάτερ Αμφιλόχιε· Χριστού του παντάνακτος, το θεόληπτον μίμημα, των ευσεβούντων, το ατίνακτον στήριγμα, των τιμώντων σε, ευλαβώς το προτείχισμα· ρήτωρ ο ενθεώτατος, δογμάτων της πίστεως,του Καισαρείας φωστήρος, ο μαθητής ο παμφίλτατος. Χριστόν εκδυσώπει, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Στιχ.: Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην...

Χαίροις ο Ικονίου ποιμήν, της οικουμένης παιδευτής ο θεόληπτος, ο πάνσοφος δημηγόρος, των μεγαλείων Θεού, θεοφόρε πάτερ Αμφιλόχιε· Χριστού της κενώσεως,χελιδών η πολύλαλος, της αληθείας, αηδών η γλυκύλαλος, των αιρέσεων, η αμφίστομος μάχαιρα· ξίφος το τέμνον άπασαν, εχθρού την κακότητα, Μακεδονίου την πλάνην, ο καθελών αληθέστατα. Χριστόν εκδυσώπει, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Δόξα. Ήχος πλ. α’ .

Τον της ευσεβείας φωστήρα, και της Εκκλησίας λαμπτήρα, χρεωστικώς τιμήσωμεν, τον θείον Αμφιλόχιον. Ούτος γαρ ο πανεύφημος, δι ἀρετῶν εργασίας, πάσης γεγονώς σοφίας έμπλεως, σάλπιγξ μεγαλόφωνος, των ευσεβών δογμάτων ανεδείχθη· και θεολόγω στόματι, πνευματομάχων την πλάνην καθελών, του Παναγίου Πνεύματος, ετράνωσε την προσκύνησιν. Όθεν αυτώ ευλαβώς εκβοήσωμεν Τρισμακαριώτατε Πάτερ, μετά Βασιλείου του θαυμαστού διδασκάλου σου, εν τη πέτρα της αληθείας, στερέωσον ημών τας ψυχάς,των εν πίστει και πόθω ανευφημούντων σε.

Και νυν. Της Εορτής. Ο αυτός.

Επέλαμψεν ημέρα χαρμόσυνος, και εορτή πανσεβάσμιος. Σήμερον γαρ η προ τόκου Παρθένος, και μετά τόκον Παρθένος μείνασα, εν Ναώ αγίω προσάγεται και χαίρει Ζαχαρίας ο πρέσβυς, ο γενετής του Προδρόμου, και βοά γηθοσύνως· Ήγγικεν η προστασία των θλιβομένων, εν ναώ αγίω ως Άγια, αφιερωθήναι εις κατοίκησιν του Παντάνακτος. Ευφραινέσθω Ιωακείμ ο προπάτωρ, και η Άννα αγαλλιάσθω, ότι προσήνεγκαν Θεώ, ως τριετίζουσαν

δάμαλιν, την άμωμον Δέσποιναν. Μητέρες συγχάρητε, παρθένοι σκιρτήσατε, και στείραι συγχορεύσατε· ότι ηνέωξεν ημίν την ουρανών βασιλείαν, η προορισθείσα Παντάνασσα. Χαίρετε λαοί και αγαλλιάσθε.

Νυν απολύεις, το Τρισάγιον.

Απολυτίκιον. Ήχος α’ . Της ερήμου πολίτης.

Ρητορεύσας τα θεία, θεολόγω σου στόματι, των αιρετικών τας επάρσεις, Αμφιλόχιε ήσχυνας· και λάμψας ως ουράνιος αστήρ, ακτίσι των πολλών σου αρετών, υπέρ λόγον τε και έννοιαν τας ψυχάς, φωτίζεις των εκβοώντων· Δόξα τω σε δοξάσαντι Χριστώ, δόξα τω σε στεφανώσαντι, δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Έτερον. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Ελλάμψει τη άνωθεν, ως καθαρός αυγασθείς, τω κόσμω εξέλαμψας, θεολογίας φωτί, σοφέ Αμφιλόχιε· συ γαρ εκπολεμήσας, τας ληρώδεις αιρέσεις, ώφθης του μυστηρίου,της Τριάδος εκφάντωρ. Διο σε ευσεβώς οι πιστοί, αεί μακαρίζομεν.

Το της Εορτής.Απόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α Στιχολογίαν, Κάθισμα. Ήχος α'.Τον τάφον σου.

Χριστού του δι' ημάς, εκ Παρθένου τεχθέντος, εδείχθης ἀληθής, της Θεότητος ρήτωρ, σοφίας ως έμπλεως, ιερέ Αμφιλόχιε, και κατήσχυνας, κατασκευάς τας βλασφήμους, των αιρέσεων· διο σε πάντες τιμώμεν, καρδίας ευθύτητι.

Της Εορτής. Όμοιον.

Δικαίων ο καρπός, Ιωακείμ και της Αννης, προσφέρεται Θεώ, Ιερώ εν αγίω, σαρκί νηπιάζουσα, η τροφός της ζωής ημών· ην ευλόγησε, ο ιερός Ζαχαρίας. Ταύτην άπαντες, ως του Κυρίου Μητέρα, πιστώς μακαρίσωμεν.

Μετά την β' Στιχολογίαν,

Κάθισμα. Ήχος δ' . Κατεπλάγη Ιωσήφ.

Ευφημείσθω μοι λαμπρώς, ο Βασιλείου μαθητής, ανυμνείσθω μοι φαιδρώς, ο του Κυρίου μιμητής, της ευσεβείας τιμάσθω μοι η κινύρα, ο σοφός ποιμήν, Αμφιλόχιος,ύμνοις και ωδαίς, γεραιρέσθω μοι, ο καθελών αιρέσεων την πλάνην, τη πανοπλία της πίστεως· πολλήν γαρ έχων, χάριν πρεσβεύει, υπέρ ημών τω Κυρίω.

Της Εορτής. Όμοιον.

Προ συλλήψεως Αγνή, καθηγιάσθης τω Θεώ· και τεχθείσα επί γης, δώρον προσήχθης νυν αυτώ, αποπληρούσα πατρώαν επαγγελίαν. Τω θείω δε ναώ, ως θείος όντως Ναός, εκ βρέφους καθαρώς, μετά λαμπάδων φαιδρών, αποδοθείσα ώφθης δοχείον, του απροσίτου και θείου Φωτός. Μεγάλη όντως, η πρόοδός σου, μόνη Θεόνυμφε και Αειπάρθενε.

Μετά τον Πολυέλεον,

Κάθισμα. Ήχος πλ. δ’ . Την Σοφίαν και Λόγον.

Της καρδίας το όμμα ως νουνεχής, των αιώνων υψώσας τω Ποιητή, σοφίας της κρείττονος, υπεδέξω τας χάριτας, και θεοσόφω γλώσση, λαμπρώς διετράνωσας, της πίστεως τον λόγον, σοφέ Αμφιλόχιε. Όθεν θείας δόξης, κοινωνός ανεδείχθης, και εύρες την άβυσσον, της ζωής παμμακάριστε, εκτελέσας τον δρόμον σου. Πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Της Εορτής. Ο αυτός. Το προσταχθέν.

Αγαλλιάσθω ο Δαυῒδ ο υμνογράφος, και χορευέτω Ιωακείμ συν τη Άννη, ότι γόνος ἅγιος ἐξ αυτών προήλθε, Μαρία η

φωτοφόρος θεία λαμπάς, και χαίρει εισερχομέν εν τω Ναώ· ην και βλέπων ηυλόγησεν, ο Βαραχίου υιός, και χαίρων ανεκραύγαζε· Χαίρε θαύμα παγκόσμιον.

Το α’ Ἀντίφωνον των Αναβαθμών του δ’ ἤχου.

Προκείμενον: Το στόμα μου λαλήσει σοφίαν και η μελέτη της καρδίας μου σύνεσιν.

Στιχ.: Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι Όσιοί σου αγαλλιάσονται.

Ευαγγέλιον, ζήτει τη ιγ’ Νοεμβρίου. Ο Ν΄.

Δόξα Πατρί: Ταις του Ιεράρχου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ.β.Στιχ.:Ελεήμον,Ελέησόν με, ο Θεός...

Όσιε πάτερ Ιεράρχα Αμφιλόχιε, της Ορθοδόξου πίστεως, κρατύνας τα δόγματα, εδοξάσθης κατ’ αξίαν, παρά Θεού Παντοκράτορος· ω πρέσβευε εκτενώς, της αδοξίας των ατίμων παθών, ρυσθήναι τους τιμώντάς σε.

Είτα ο Κανών της Εορτής και οι Κανόνες του Αγίου.

Ο α Κανὼν του Αγίου, ου η Ακροστιχίς: Τον την πλάνην λοχώντα μέλπω ποιμένα. Ποίημα: Θεοφάνους.

Ωδή α'. Ήχος δ'. Θαλάσσης το ερυθραίον πέλαγος

Τους λόγους των δυσσεβών αιρέσεων, και τα φρυάγματα, ορθοδοξίας αίγλη λαμπρυνθείς, ευμαρώς διεσκέδασας, εν η τους σε γεραίροντας, Ιεροφάντα περιφρούρησον.

Ο πάντων την σωτηρίαν Κυριος, αεί βουλόμενος, της ιεράς σε ποίμνης οδηγόν, ιεράρχα προβάλλεται, λόγω και βίω λάμποντα, διαφερόντως θεασάμενος.

Νομίμως υπεραθλείν ελόμενος, της Εκκλησίας Χριστού, τη παντευχία Πάτερ του Σταυρού, σεαυτόν περιέφραξας, και νικητής τη χάριτι, και στεφανίτης αναδέδειξαι.

Θεοτοκίον.

Τον Λογον τον τω Πατρί συνάναρχον, και συναΐδιον, και της αυτής ουσίας και μορφής τω τεκόντι υπάρχοντα, σεσαρκωμένον τέτοκας, ανερμηνεύτως Απειρόγαμε.

Κανών δεύτερος του Αγίου, ου η Ακροστιχίς εν τοις Θεοτοκίοις· Κυρίλλου.

Ωδή α’ .Ήχος α΄. Χριστός γεννάται.

Χριστού θεράπον πιστότατε, Χριστού δι’ αρετής φίλε γνήσιε, Χριστού μιμητά θαυμάσιε, αίτει μοι σαις πρεσβείας χάριν πολλήν, ως αν σοι υφάνω, Αμφιλόχιε σοφέ,ύμνον ο άμουσος.

Χριστού την δόξαν επόθησας, και γης ως νουνεχής τας τερπνότητας, ω Πάτερ σοφέ εμίσησας· ὅθεν τοις ουρανίοις της αρετής, αγώσιν εμπρέψας, Αμφιλόχιε οικείς,νυν τον Παράδεισον.

Θεού την χάριν δεξάμενος, αυτού ως εκ παιδός τα θελήματα, φυλάξας πιστώς ως πάνσοφος, στόμα της αληθείας ώφθης σεπτόν, και εν θεοφθόγγοις, λαλιαίς αιρετικών, την πλάνην ήσχυνας.

Θεοτοκίον.

Καλή Παρθένε υπάρχουσα, φρικτώς ως τον Χριστόν σωματώσασα, ποιμένα ψυχών τον κάλλιστον, κάλλυνον την ψυχήν μου ως αγαθή, και ταύτην αξίαν, σωτηρίας σαις ευχαίς, Μήτερ ανάδειξον.

Ωδή γ'. Ευφραίνεται επί σοι, η Εκκλησία σου Χριστέ κράζουσα.

Η θεία και φωταυγής, των σων δογμάτων λαμπηδών έσβεσε, την δυσσεβή φάλαγγα, των αιρετικών Αμφιλόχιε.

Ναμάτων ζωοποιών, ως ποταμός ων εκ Θεού έμπλεως, Αρχιερεύς γέγονας, οις οι ευσεβείς αρδευόμεθα.

Πλουσίαις μαρμαρυγαίς, καταλαμπόμενοι τον νουν ήστραψας, την μυστικήν Όσιε, των σων διδαγμάτων ευπρέπειαν.

Θεοτοκίον

Λυχνίαν σε φωτεινήν, και ψυχοτρόφον αληθώς τράπεζαν, και κιβωτόν Πάναγνε, πάντες οι πιστοί καταγγέλλομεν.

Κανών δεύτερος. Τω προ των αιώνων.

Τον της ευσεβείας, εν καρδία σου ζήλον, θεόθεν λαβών, της ασεβείας τας υψώσεις, εν σοφίας τοις όπλοις, καθείλες τρανώς και στήριγμα, του ορθοδόξου εδείχθης λαού, πάτερ Αμφιλόχιε.

Τον εκ της Παρθένου, Αμφιλόχιε πάτερ, τεχθέντα φρικτώς, θεοφωτίστω διανοία, ανεκήρυξας πάσι, Θεόν αληθώς παντέλειον, και των Αρείου δεινών φοιτητών, έφραξας τα στόματα.

Σύνοικον ως όντως, καθαρός την σοφίαν, πλουτήσας κλεινέ, την ενυπόστατον Σοφίαν, του Πατρός θεοσόφως, Θεόν εκ Θεού εκήρυξας, των μωρολόγων τας κατασκευάς, λύων Αμφιλόχιε.

Θεοτοκίον.

Ύμνοις σε τιμώμεν, την αφράστως τεκούσαν, Χριστόν τον Θεόν, την εκ πασών προεκλεχθείσαν, γενεών Θεοτόκε· αυτώ ουν αεί ικέτευε, την των πταισμάτων άφεσιν ημίν, δούναι ως φιλάνθρωπος.

Κάθισμα του αυτού. Ήχος δ'. Ταχύ προκατάλαβε

Λαμπρύνεις τα πέρατα, εν τη ση μνήμη σοφέ, το σώμα εκβλύζει σου, των ιαμάτων πηγάς, Αμφιλόχιε ένδοξε· όθεν και ασθενείας, απαλλάττεις παντοίας, πίστει τους προσιόντας, τω σεπτώ σου τεμένει, και νυν πταισμάτων την λύσιν, αίτησαι πάσιν ημίν.

Και της Εορτής. Όμοιον.

Δαυῒδ προοδοποίησον, εν τω ναώ του Θεού, και χαίρων υπόδεξαι, την Βασιλίδα ημών, και ταύτη εκβόησον· Είσελθε η Κυρία, εις ναόν Βασιλέως· είσελθε ης η δόξα,κεκρυμμένως νοείται· εξ η ς μέλι και γάλα μέλλει πηγάσειν, πάσι το φως ο Χριστός.

Ωδή δ'. Επαρθέντα σε ιδούσα η Εκκλησία.

Αμφιλοχίου του θείου και θεηγόρου, την ιεράν πανήγυριν θεόφρονες δεύτε, πίστει συγκροτήσωμεν, τοις τούτου διδάγμασι, και θεολογίαις νευρούμενοι.

Νυμφαγωγός θεοφόρε της Εκκλησίας, της εν Χριστώ γενόμενος, τω κάλλει των λόγων, ταύτην κατεκόσμησας, και τη ωραιότητι, της ορθοδοξίας εφαίδρυνας.

Η θεολόγος σου γλώσσα και θεηγόρος, της αρχικής Τριάδος το μονόσεπτον κράτος, πάσι διετράνωσε, και μίαν θεότητα, σέβειν εν τρισίν Υποστάσεσι.

Θεοτοκίον

Νεαν σκηνήν σε Παρθένε κατανοούμεν, και καθαρόν αγίασμα του πάντων Δεσπότου· τούτον γαρ εγέννησας, σαρκί καθ' υπόστασιν, συνδεδραμηκότα Πανάμωμε.

Κανών δεύτερος. Ράβδος εκ της ρίζης.

Άνθος γεωργία θεϊκή, εκ ρίζης ευσεβούς σοφέ, ω Αμφιλόχιε εβλάστησας, και έπνευσας την πνοήν, ευσεβείας τω κόσμω. Όθεν σε αεί ανευφημούμεν, δοξάζοντες τον Θεόν, εν τρισί πιστώς υποστάσεσι.

Σκεύος ουρανίων αρετών, τελέσας ιερόν σαυτόν, ω Αμφιλόχιε του Πνεύματος, την άκτιστον αληθώς, κατεπλούτησας χάριν, δι ἧς της Τριάδος το μυστήριον, ηρμήνευσας εκβοών· Δόξα τη δυνάμει σου Κύριε.

Κάλλος αποθέσας ση ψυχή, της θείας των Γραφών σοφέ, γνώσεως πάτερ Αμφιλόχιε, ωράϊσας την Χριστού, αληθώς

Εκκλησίαν, ήτις ώσπερ κόσμον θησαυρίσασα, τας βίβλους σου μελωδεί· Δόξα τη δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ρήσεις θεηγόρων Προφητών, Παρθένε Μαριάμ αγνή, σον θείον τόκον προκατήγγειλαν, δι' ου της προγονικής, λυτρωθέντες κατάρας, πάντες οι πιστοί σοι εκβοώμεν, γηθόμενοι ευσεβώς· Χαίρε παντευλόγητε Δέσποινα.

Ωδή ε'. Συ Κύριέ μου φως, εις τον κόσμον ελήλυθας,

Λαμπόμενος φωτί, Τρισηλίου θεότητος, εκάθισας επί θρόνου, της Αρχιερωσύνης, θεόφρον, Αμφιλόχιε.

Ολόκληρον σαυτόν, τω Θεώ καθιέρωσας, και γέγονας θεοκήρυξ, μεγαλόφωνος Πάτερ, παμμάκαρ Αμφιλόχιε.

Χαρμόσυνος ημίν, εορτή και πανίερος, εφέστηκεν η του θείου, και σοφού Διδασκάλου, τον κόσμον αγιάζουσα.

Θεοτοκίον

Ω πάντων των Πιστών, ευπρεπές εγκαλλώπισμα, πανάχραντε Θεομήτορ, της ψυχής μου τον ρύπον, απόπλυνον πρεσβείαις σου.

Κανών δεύτερος. Θεός ων ειρήνης.

Αρείου εκγόνων, σφενδόνη των σων, θεοπνεύστων δογμάτων εδίωξας, την λύμην την ψυχόλεθρον, και θεία φυλακή,

λύκων προβατοσχήμων, εφύλαξας την ποίμνην, του Χριστού αλώβητον, πάτερ θεόφρον Αμφιλόχιε.

Λαμπρότητι βίου, αμώμου σοφέ, υψηλών τε δογμάτων φαιδρότητι, εκλάμψας ώσπερ ήλιος, πρόνοια θεϊκή, σκότος της Ευνομίου, εναγούς βλασφημίας, θαυμαστώς διέλυσας, πάτερ παμμάκαρ Αμφιλόχιε.

Ναμάτων των θείων, πλουσίως σοφέ, Καισαρείας φωστήρος του μάκαρος, εξήντλησας και πέφηνας, διάδοχος αυτού, πάσαν την Εκκλησίαν, μυστικώς επαρδεύων, και δεινών αιρέσεων, καταποντίζων την παράταξιν.

Θεοτοκίον.

Ιλέωσαι Μήτερ, Χριστόν τον Θεόν, ον φρικτώς υπέρ λόγον εκύησας, πταισμάτων την συγχώρησιν, δωρήσασθαι ημίν, πίστει σοι μελωδούσι, του Αγγέλου το Χαίρε·χαίρε η ενώσασα, τα διεστώτα Μητροπάρθενε.

Ωδή ς'. Θύσω σοι μετά φωνής, αινέσεως Κύριε.

Νεκρώσας, το της σαρκός χαμαίζηλον φρόνημα, της απαθείας την χάριν, εστολίσω Πάτερ Ιερομύστα, και πανάγνοις, διδαχαίς την Τριάδα εκήρυξας.

Τω φόβω, στοιχειωθείς τω θείω θεόληπτε, και την ψυχήν μολυσμάτων, καθαράν τηρήσας, θεολογίας ανεδείχθης, ιερώτατον όργανον Όσιε.

Θεοτοκίον

Αγνόν σε, και καθαρόν γινώσκοντες σκήνωμα, του Βασιλέως της δόξης, και ναόν και θρόνον του Πανυψίστου, δυσωπούμεν, τας ψυχάς ημών σώσαι Πανύμνητε.

Κανών δεύτερος. Σπλάγχνων Ιωνάν.

Νουν προς εφετών, όντως το ακρότατον, επάρας σοφέ, ως νουνεχέστατος, κατεποίκιλας, την αγίαν ψυχήν σου, και ώφθης κανών, αληθώς της ευσεβείας ακριβέστατος, πάσι την αυτής ακρίβειαν, θεοσόφως διδάσκων Αμφιλόχιε.

Πράξει αληθεί, λόγω πολυσοφώ τε, εμπρεπών καλώς, ω Αμφιλόχιε, εν λυχνία σε, ο Δεσπότης ανάγει, φέγγος δια σου, Ορθοδοξίας εκπέμπων το ανέσπερον, υφ’ ου κατηυγάσθη άπαντα, της αυτού Εκκλησίας τα πέρατα.

Θηρ ο μονιός, Πάτερ Μακεδόνιος, λαλήσας ψευδώς, βλάσφημα ρήματα, τοις πανσόφοις σου, λαλιαίς εφιμώθη, και λύμη κακή, η αυτού διδασκαλία αποδέδεικται· διο ως Τριάδος πρόμαχον, της σεπτής σε υμνούμεν γηθόμενοι.

Θεοτοκίον.

Λύσον τας σειράς, Μήτερ των πταισμάτων μου, πρεσβείαις ταις σαις, προς τον φιλάνθρωπον, και το θέλημα, του Κυρίου με πράττειν, Δέσποινα αεί, επισκοπή σου αγία ενδυνάμωσον σοι γαρ καταφεύγω Άχραντε, τη βεβαία και μόνη ελπίδι μου.

Κοντάκιον. Ήχος β'. Τα άνω ζητών.

Η θεία βροντή, η σάλπιγξ η του Πνεύματος, πιστών φυτουργέ, και πέλεκυς των αιρέσεων, Ιεράρχα, Αμφιλόχιε, της Τριάδος θεράπον μέγιστε, συν Αγγέλοις πέλων αεί, πρεσβεύων μη παύση υπέρ πάντων ημών.

Κοντάκιον έτερον. Ήχος πλ. δ’ . Τη υπερμάχω.

Της ευσεβείας διετράνωσας την δύναμιν, και των αιρέσεων το θράσος καταβέβληκας, Αμφιλόχιε μακάριε Ιεράρχα. Αλλ ώς φως της θείας δόξης θεασάμενος, ταις ακτίσι των χαρίτων σου καταύγασον, τους βοώντάς σοι· Χαίροις Πάτερ θεόληπτε.

Ο Οίκος.

Γεωργήσας τω λόγω, των πιστών τας καρδίας, θεόφρον Αμφιλόχιε πάτερ, ταύτας γονίμους τω Θεώ, τω Ποιητή και

Κυρίω της κτίσεως, ἐδειξας αληθέστατα διο σοι Πάτερ εκβοώμεν·

Χαίρε το στόμα της ευσεβείας·

χαίρε η γλώσσα της αληθείας.

Χαίρε δημηγόρε δογμάτων της πίστεως·

χαίρε εκμαγείον σοφίας της κρείττονος.

Χαίρε άνθος ευωδέστατον ουρανίου βιοτής·

χαίρε ρόδον ιερώτατον γεωργίας μυστικής.

Χαίρε ότι καθείλες των βλασφήμων το θράσος·

χαίρε ότι εδέξω τα της χάριτος δώρα.

Χαίρε Τριάδος μύστης ουράνιος·

χαίρε Κυρίου φίλος θεόληπτος.

Χαίρε εχθρού την απάτην αισχύνας·

χαίρε ημάς συμπαθώς προστατεύων.

Χαίροις Πάτερ θεόληπτε.

Συναξάριον.

Τη ΚΓ΄ του αυτού μηνός, μνήμη του εν αγίοις Πατρός ημών Αμφιλοχίου, Επισκόπου Ικονίου. Στίχοι.

Σταλείς, Αμφιλόχιε, νεκρών αμφίοις, Λόχους σκεδάζεις και νεκρός νοουμένους.

Εικάδι εν τριτάτη θάνατος λάβεν Αμφιλόχιον.

Ωδή ζ'. Εν τη καμίνω Αβραμιαίοι παίδες τη Περσική.

Μυστικωτάταις, θεηγορίαις ταις σαις προσέχοντες, πόθω την Αρείου Πάτερ κατατομήν, της Θεότητος εκφεύγομεν, Τριάδα άκτιστον, ομοούσιον πίστει δοξάζοντες.

Ελπλεγμένον, ταις διδαχαίς σου Μακεδόνιον, Πατερ καθορώντες Πνεύμα το αγαθόν, τω Πατρί τε και Γεννήματι, συμπροσκυνούμενον, και συνυπάρχον πίστει δοξάζομεν.

Λόγω τρανώσας, την υπέρ λόγον Λόγου σάρκωσιν, σέβειν εν δυσίν ουσίαις Θεόν, θεοφρόνως εξεπαίδευσας, και την διαίρεσιν, και την σύγχυσιν φεύγειν θεόληπτε.

Θεοτοκίον

Πάντες προθύμως, την Θεοτόκον ευφημήσωμεν, δεύτε οι σωθέντες πίστει του εξ αυτής, γεννηθέντος ανακράζοντες· Ευλογημένη συ εν γυναιξίν υπάρχεις Πανάχραντε.

Κανών δεύτερος. Οι Παίδες ευσεβεία.

Συνόδου της δευτέρας των Πατέρων, θαυμαστός υπέρμαχος πάτερ γεγένησαι, το Πνεύμα τρανώς το Πανάγιον, Αμφιλόχιε Θεόν, κηρύξας τέλειον, ο συν Πατρί τε, υμνούμεν και τω Λόγω.

Ως θήρας λυμεώνας εκδιώξας, τους λαλούντας βλάσφημα, κατά του Πνεύματος, της ποίμνης Χριστού ω Αμφιλόχιε,

ταύτην σαις διδαχαίς, κύκλω ετείχισας, σοι συνεργούσης, Θεού της ευδοκίας.

Παθών τη αφαιρέσει εφελκύσας, Παρακλήτου Όσιε, την θείαν δύναμιν, εξήλθες νικών ω Αμφιλόχιε, παρατάξεις δυσμενών, και χαίρων εψαλλες· Ο των Πατέρων, Θεός ευλογητός ει.

Θεοτοκίον.

Λαού του χριστωνύμου Θεομήτορ, ασφαλές προτείχισμα και καταφύγιον, υπάρχεις Αγνή σης αντιλήψεως, τη χάριτι αληθώς· διο βοώμεν σοι· Χαίρε Μαρία, ελπίς απεγνωσμένων.

Ωδή η'. Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα.

Ωραιώθησαν ασματικώς αι σιαγόνες σου, θεολογούντος τρανώς, Τριάδα άναρχον άκτιστον, ομοούσιον ασύγχυτον, εν υποστάσεσι τρισί, Πάτερ θεόσοφε, η βοώμεν· Παντα τα έργα, υμνείτε τον Κυριον.

Πλούτόν σοι και δόξαν ακραιφνή, η ενυπόστατος, Σοφία δέδωκε, θεολογήσαντι Πάνσοφε, ευσεβώς και των αιρέσεων, καταβαλόντι την οφρύν, και πόθω ψάλλοντι· Ευλογείτε, πάντα τα έργα Κυρίου τον Κυριον.

Ο πάσι παρέχων την ζωήν, ως ιεράρχην πιστόν και θεορρήμονα, εν Εκκλησία σε Όσιε, πρωτοτόκων εισωκίσατο, ιερουργούντα μυστικώς, και πίστει μέλποντα· Ευλογείτε, πάντα τα έργα Κυρίου τον Κυριον.

Θεοτοκίον

Ιδού νυν εκλέλοιπε σαφώς, εκ της Ιούδα φυλής, άρχων ηγούμενος· συ γαρ Πανάμωμε τέτοκας, ω το πριν ην αποκείμενον, την προσδοκίαν των εθνών Χριστόν, ω ψάλλομεν· Ευλογείτε, πάντα τα έργα Κυρίου τον Κυριον.

Κανών δεύτερος. Θαύματος υπερφυούς.

Πνεύματος του παντουργού τη επινεύσει, Ιεράρχης γενόμενος πάτερ, ράβδω θείας γνώσεως την σην ποίμνην, σωτηρίας προς την κρείττονα, εποίμανας ενθέως νομήν,Χριστόν Αμφιλόχιε μιμούμενος. Όθεν δόξης αφράστου, στέφανον ἔλαβες, και εθαυμαστώθης, Αγίων συν τοις δήμοις.

Ήλεγξας αιρετικών τας φληναφίας, υψηλών σου δογμάτων σοφία· Πνεύμα γαρ το Άγιον, έσχες πάτερ, Αμφιλόχιε διδάσκαλον, ως όντως καθαρός τη ψυχή· διο σε υμνούμεν ανακράζοντες· Χαίροις Αρχιερέων καύχημα τίμιον, και Ορθοδοξίας, αγλάϊσμα και γέρας.

Ύψωσον ικετικώς προς τον Δεσπότην, και Θεόν τας αγίας σου χείρας, αυτόν ιλεούμενος Ιεράρχα, Αμφιλόχιε μακάριε, απαύστως υπέρ πάντων ημών, των πίστει και πόθω εκβοώντων σοι· Χαίροις της Εκκλησίας μέγιστος πρόμαχος, και θερμός προστάτης, των σε προσκαλουμένων.

Θεοτοκίον.

Όμβρισον ως ευμενής Θεοκυήτορ, του ελέους σου αφθόνως τα ρείθρα, ημίν τοις τον τόκον σου προσκυνούσι, τον φρικτόν τε και σεβάσμιον, και πίστει αδιστάκτω Αγνή, Αγγέλου το Χαίρε μελωδούσί σοι· Χαίρε της σωτηρίας πύλη ουράνιος, Κεχαριτωμένη, Μήτερ του Ζωοδότου.

Ωδή θ'. Λίθος αχειρότμητος όρους.

Μίαν τρισυπόστατον φύσιν, πανευσεβώς θεολογήσας, την παμβασιλίδα Τριάδα, την θεαρχίαν την ακατάληπτον, νυν υπ' αυτής τετίμησαι, ιεροφάντορ Αμφιλόχιε.

Έχων προς Θεόν παρρησίαν, ως ιεράρχης θεοφόρε, των την ιεράν και φωσφόρον, τελούντων μνήμην, σου παμμακάριστε, δια παντός μνημόνευε, τω σω Δεσπότη παριστάμενος.

Νέμοις μοι την άφθονον χάριν, τω τους επαίνους σοι θεόφρον, πλέξαντι προθύμω καρδία, την των πταισμάτων λύσιν αιτούμενος, ως ιερεύς πιστότατος, Όσιε Πάτερ Αμφιλόχιε.

Θεοτοκίον

Αδάμ μεν απόγονος ώφθης, του δε Θεού Μητηρ εδείχθης· συ γαρ απ' αιώνος εφάνης, Αγιωτέρα πάσης της κτίσεως, ευλογημένη Πάναγνε· διο σε πάντες μεγαλύνομεν.

Κανών δεύτερος. Μυστήριον ξένον.

Σαλπίσωμεν πάντες, ασμάτων εν σάλπιγγι, και πίστει χορεύσωμεν, ύμνοις ανευφημούντες συμφώνως, τον θείον ποιμένα, των Ικονιέων Αμφιλόχιον, απάντων πιστών, τον θεοδίδακτον διδάσκαλον.

Συνόδου εν μέσω, Πατέρων μακάριε, το Πνεύμα το Άγιον, γλώσση θεοκινήτω κηρύξας, Πατρί συν Υιώ τε, Πάτερ ομοούσιον και σύνθρονον, Θεόν τε εκ Θεού, τον Μακεδόνιον κατήσχυνας.

Ποιμήν θεηγόρε, Ποιμένων αγλάϊσμα, Πατέρων ωράϊσμα, κλέος Ορθοδοξίας το θείον, Χριστού τε θεράπον, ευχαίς σου αγίαις Αμφιλόχιε, ευμένιζε ημίν, τον εν υψίστοις σε δοξάσαντα.

Θεοτοκίον.

Υμνούμέν σε πόθω, την μόνην αμόλυντον, ην Μήτερ δοξάζουσι, πάσαι αι των Αγγέλων χορείαι, και πάσα η κτίσις, Θεόν ως ασπόρως σωματώσασαν. Αυτόν ουν εκτενώς, υπέρ του κόσμου καθικέτευε.

Εξαποστειλάριον. Τοις Μαθηταίς συνέλθωμεν.

Του Πνεύματος την έλλαμψιν, εν ψυχή δεδεγμένος, Μακεδονίου ήλεγξας, την κακόπιστον πλάνην, και θεοσοφοίς σου λόγοις, την Χριστού Εκκλησίαν, ενθέως κατεκόσμησας, Αμφιλόχιε πάτερ· όθεν τρυφῆς, της αφράστου έτυχες εν υψίστοις, και της ζωής μετέλαβες, επαξίως του ξύλου.

Έτερον. Εν Πνεύματι τω ιερώ.

Του Πνεύματος του Παντουργού, την Θεότητα Πάτερ, λαμπρώς εθεολόγησας, της Συνόδου εν μέσω, υπείκων διδασκαλίαις, Βασιλείου Όσιε, του θείου σου διδασκάλου,μεθ’ ου αεί τον Θεόν, Αμφιλόχιε σοφέ, υπέρ ημών εκδυσώπει.

Της Εορτς, όμοιον

Του ιερού σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τα ενδότερα, χερσίν Αρχιερέως, εν οις τριών από χρόνων, έως

δύο και δέκα, διέμεινας τρεφομένη, χειρί θείου Αγγέλου, ως αγία κιβωτός, του πάντα τεκτηναμένου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ. Ήχος δ' . Ως γενναίον εν Μάρτυσιν.

Ενεργείας του Πνεύματος, πρυτανείον το έμψυχον, ευσεβείας ρήτορα τον θειότατον, την των αιρέσεων μάχαιραν, Τριάδος τον πρόμαχον, ορθοδόξων τον πυρσόν, τον σοφόν Αμφιλόχιον, ευφημήσωμεν, των πιστών αι χορείαι ομοφώνως, Ιεράρχα εκβοώντες, τους υμνολόγους σου φύλαττε.

Θεορρήμονι γλώττη σου, της Τριάδος εκήρυξας, γνώσιν παμμακάριστε την σωτήριον, και τη μαχαίρα των λόγων σου, εις τέλος κατέκοψας, τα ζιζάνια σοφέ, των ματαίων αιρέσεων, Αμφιλόχιε, και επαίδευσας πάντας καταλλήλως, ορθοδόξως απονέμειν, τω Λυτρωτή την προσκύνησιν.

Βασιλείου του μάκαρος, μαθητής εχρημάτισας, Ιεραρχα όσιε Αμφιλόχιε, και τοις αυτού θείοις ίχνεσι, προφρόνως επόμενος, ανεδείχθης μαχητής, της Τριάδος πραότατος, και κατέβαλες, αλλοφύλλων αιρέσεων το θράσος, θείω στόματι τρανώσας, της ευσεβείας τα δόγματα.

Πανοπλία της κρείττονος, Αμφιλόχιε γνώσεως, ασεβών διέκοψας την παράταξιν, και αληθώς διετράνωσας, το

κράτος της πίστεως, αφειδήσας διωγμών, και κινδύνων και θλίψεων όθεν σήμερον, ευσεβείας ως θείον υποφήτην, και υπέρμαχον υμνούμεν, των ευσεβών τα συστήματα.

Δόξα. Ήχος πλ. β' .

Σήμερον οι δήμοι των πιστών συνελθόντες, εν άσμασι θεοφρόνως κροτήσωμεν, επί τη μνήμη του σοφωτάτου Ιεράρχου, και πνευματικώς χορεύοντες, αυτώ ευλαβώς αναβοήσωμεν· Χαίροις ο Βασιλείω, τω ουρανοφάντορι μαθητεύσας, και παρ' αυτού μυηθείς, θεολογίας τα απόρρητα μυστήρια χαίροις ο την χάριν, του Πνεύματος δεξάμενος, και εν αυτώ τας βλασφήμους αιρέσεις, γενναίως εκπολεμήσας· χαίροις ο του Ικονίου θεόληπτος ποιμήν, της Εκκλησίας τε ο θείος διδάσκαλος, και της δευτέρας Συνόδου των Πατέρων, ο κραταιός υπέρμαχος. Πρέσβευε ουν εκτενώς, Αμφιλόχιε πάτερ τω Θεώ, σωθήναι τας ψυχάς ημών.

Και νυν. Το της Εορτής. Ο αυτός.

Σήμερον τα στίφη των πιστών συνελθόντα, πνευματικώς πανηγυρίσωμεν, και την Θεόπαιδα Παρθένον και Θεοτόκον, εν ναώ Κυρίου προσαγομένην, ευσεβώς ανευφημήσωμεν την προεκλεχθείσαν εκ πασών των γενεών,

εις κατοικητήριον του παντάνακτος Χριστού, και Θεού των όλων. Παρθένοι, λαμπαδηφορούσαι προπορεύεσθε, της Αειπαρθένου τιμώσαι, την σεβάσμιον πρόοδον. Μητέρες, λύπην πάσαν αποθέμεναι, χαρμονικώς συνακολουθήσατε, υμνούσαι την Μητέρα του Θεού γενομένην, και της χαράς του κόσμου την πρόξενον. Άπαντες ουν χαρμονικώς, το Χαίρε συν τω Αγγέλω εκβοήσωμεν, τη Κεχαριτωμένη, τη αεί πρεσβευούση, υπέρ των ψυχών ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος του Αγίου η γ' και στ Ωδή.

Απόστολον και Ευαγγέλιον, ζήτει τη ιγ' του Νοεμβρίου.

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

Μεγαλυνάριον.

Ο του Ικονίου θείος ποιμήν, και του Βασιλείου, ο θεόληπτος μαθητής, των πνευματομάχων, ο μέγας καθαιρέτης, αξίως ευφημείσθω, νυν Αμφιλόχιος.

Δίστιχον. Αμφιλόχιον ευσεβείας τον στύλον

Ύμνοις Κύριλλος ευλαβώς καταστέφει.